A

Bisetus. Εἴθεσις ἑτέρου μέλους ἐκ κώλων η'.

Χο. Χωρεῖτε νῦν ἱερὸν ἀνὰ κύκλον θεᾶς,
Ἀνθοφόρον ἀν' ἄλσος
Παίζοντες, οἷς μετουσία
Θεοφιλοῦς ἑορτῆς.
Δι. Ἐγὼ δὲ σὺν ταῖσι κόραις
Εἶμι καὶ γυναιξὶν,
Οὗ παννυχίζουσι θεᾷ,
Φέγγος ἱερὸν οἴσων.

CH. *Nunc ite in orbem sacrũ legiferæ Deæ:*
*Et nemore in amœno*
*Saltate: quîs consortium est*
*Deicolæ diei.*
*BA. Ego verò cum virginibus*
*Ibo fœminisque:*
*Vbi noctem Deæ peruigilant:*
B *Præferámque facem illis.*

Σχόλια. Χωρεῖτε νῦν.] εἴθεσις ἑτέρου μέλους προῳδικὴ διαιρεθέντος αὖθις τοῦ χοροῦ, καὶ τοῦ μὲν τὴν προῳδὴν ᾄδοντος, τοῦ δὲ τὴν ἀντιστροφήν. καὶ εἰσὶ τῆς μὲν προῳδοῦ τὰ κῶλα ὀκτώ. τὸ πρῶτον ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν τοῦ δευτέρου ποδὸς ἐξασυλλάβου. τὰ β δ. καὶ τελευταῖον παιωνικὰ δίμετρα καταληκτικὰ ἐκ παίωνος πρώτου ἢ τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ πέμπτον καὶ ἕβδομον ἐπιχοριαμβικὰ δίμετρα ἀκατάληκτα ἐκ διιάμβου ἢ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ ἕκτον, τροχαϊκὸν ἰθυφαλικόν. τῆς δὲ στροφῆς τὰ κῶλα ἕξ. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ὧν τὰ πρῶτα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δεύτερα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. τὸ μέντοι τῆς ἀντιστροφῆς τετράβραχυν ἔχει τὸν δεύτερον πόδα. ἔνθα καὶ ἀντὶ τοῦ ἱλαρὸν ἱερὸν γράφεται. τὰ τρίτα ἰωνικὰ ἀπὸ μείζονος δίμετρα καταληκτικὰ ἐκ παίωνος δευτέρου ἢ κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὰ πέμπτα καὶ τὰ ἕκτα ὁμοίως. τὰ μέντοι τῆς ἀντιστροφῆς ἀντ' ἰωνικῶν, ἔχει παίωνας δευτέρους. τὰ τελευταῖα ἰωνικὰ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν προῳδοῦ καὶ τῆς στροφῆς
C παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. ἄλλως. χωρεῖτε νῦν. δύνανται πάντες οἱ κατὰ τὸν χορὸν, ἀλλήλοις παρακελεύεσθαι, καὶ μὴ εἰς ἀμοιβαῖα διαιρεῖσθαι. ἀλλὰ τοῦτο εἰς οὐδὲν φαίνοιτο ἂν οἰκονομούμενος.

Bisetus. Στροφὴ κώλων ς'.

Χο. Χωρῶμεν ἐς πολυρρόδους
Λειμῶνας ἀνθεμώδεις,
Τὸν ἡμέτερον τρόπον
Τὸν καλλιχορώτατον
Παίζοντες, ὃν ὄλβιαι
Μοῖραι ξυνάγουσι.

CH. *Eamus hac in florida,*
D *Herbis referta prata:*
*Et nunc solito pede*
*Isthunc lepidum chorum*
*Agamus: amica quem*
*Huc fata reducunt.*

Σχόλια. Τὸν ἡμέτερον.] ἀντὶ τοῦ κατὰ τὸν ἡμέτερον τρόπον ὡς ἔθος ἔχομεν παίζοντες.

Bisetus. Ἀντιστροφὴ κώλων ς'.

Μόνοις γὰρ ἡμῖν ἥλιος,
Καὶ φέγγος ἱλαρὸν ἐστιν,
Ὅσοι μεμυήμεθ', εὐσεβῆ τε διήγομεν
Τρόπον, περί τε ξένους,
Καὶ τοὺς ἰδιώτας.

E *Nobis enim Sol fulgidus,*
*Solis & hilaris est lux:*
*Sacris qui initiamur, &*
*Piam benè degimus*
*Vitam, erga & incolas,*
*Erga & peregrinos.*

Σχόλια. Ὅσοι μεμυήμεθ.] ἐμυσταγωγήθημεν. μυστήρια δὲ ἐκλήθη, παρὰ τὸ τοὺς ἀκούοντας, μύειν τὸ στόμα, καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι. μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα. Καὶ τοὺς ἰδιώτας.] ἀντὶ τοὺς ἰδίους. τοὺς πολίτας. ἀντίστραπται δὲ τοῦτο τὸ ἴδιον ἀντὶ τοῦ ἰδιωτικοῦ. καὶ οὕτω πολλάκις εἴρηται κατὰ παραγωγήν. σημειωτέον
F ὅτι καὶ ἰδιώτης λέγεται, ὁ πρὸς γένος ἴδιος καὶ ὁ ἀμαθής.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ
### Σκηνὴ πρώτη.
### ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΑΙΑΚΟΣ.

## ACTVS II. SCENA I.
### BACCHVS, XANTHIAS, ÆACVS.

Bisetus. Ὁ Διόνυσος πρὸς τὸ τοῦ Πλούτωνος βασίλειον ἐλθὼν, τὴν αὐτοῦ θύραν ἐλαφρῶς κόπτει. Αἰακὸς δὲ τὸν τῆς θύρας κοφθείσης ἦχον αἰσθόμενος πρὸς
G αὐτὴν ὁρμᾶται, ὅπως γιγνώσκῃ ὅστις ἂν εἴη ὁ ταύτην κόψας, καὶ τὸ ῥόπαλον, καὶ τὴν λεοντῆν ἰδὼν, τὸν Ἡρακλέα παρεῖναι νομίζων, τὰς γοργόνας, τὰς ἁρπυίας προσκαλέσων τρέχει, ἵνα τοῦτον ἁρπάσωσι, καὶ συνδήσωσι.

Ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψω; τίνα;
Πῶς ἐνθάδ' ἄρα κόπτουσιν οἱ πιχώριοι;

*AGè quomodo ostium pulsabo? quomodo?*
*Aut quo pacto pulsant huius loci incolæ?*

Σχόλια. Ἄγε δή.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ὅσοι. ὧν τελευταῖος ἐμοῦ δ' ἐνθεὶς ἂν εἰ θεὸς θέλει. ἐπὶ τῷ τέλει κορωνίς.